**13** Ath. 495c

ἐκ πελλίδος πίνοντες· οὐ γὰρ ἦν αὐτῆι
κύλιξ, ὁ παῖς γὰρ ἐμπεσὼν κατήραξε.

**14** καὶ πάλιν·

ἐκ δὲ τῆς πέλλης
ἔπινον· ἄλλοτ' αὐτός, ἄλλοτ' Ἀρήτη
προύπινεν.

**15** Choerob. *can.* i. 268 Hilgard

τί τῶι τάλαντι Βουπάλωι συνοίκησας;

**16** Herodian. π. μον. λέξ., ii. 924 Lentz

ἐγὼ δὲ δεξιῶι παρ' Ἀρήτην
κνεφαῖος ἐλθὼν 'ρωιδιῶι κατηυλίσθην.

**17** *Et. Gen.* λ 156 ed. Adler-Alpers

κύψασα γάρ μοι πρὸς τὸ λύχνον Ἀρήτη.

**19** Herodian. π. παθῶν ap. *Et. Gen.* / *Sym.* s.v. ἀσκαρίζειν

τίς ὀμφαλητόμος σε τὸν διοπλῆγα
ἔψησε κἀπέλουσεν ἀσκαρίζοντα;

**20** Choerob. in Hephaest. p. 199. 12 Consbruch περὶ δὲ τῶν ἀφώνων ἐστὶν εἰπεῖν ὅτι ἀσθενέστερά εἰσι μᾶλλον τῶν ἄλλων στοιχείων, καὶ εὑρέθη ποιοῦντα σπανίως κοινὴν ἐν αὐτοῖς τὸ πτ καὶ τὸ κτ, οἷον παρὰ τῷ ποιητῇ· "Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα" (*Od.* 4. 229). καὶ πάλιν παρὰ Ἱππώνακτι ἐν τῷ πρώτῳ ἰάμβων (ita Hoffmann pro τῶ τρόπω ἴαμβον)·